9 ΔΕΚΕΜΒΡΙΟΥ

Ἡ σύλληψις τῆς ἁγίας Ἄννης τῆς μητρὸς τῆς Θεοτόκου· ἀνάμνησις τῶν ἐγκαινίων τοῦ ἐν Κύπρῳ ἱ. ναοῦ τοῦ ἁγ. Ἰωάννου τοῦ Χρυσοστόμου (ἐν ἔτει 1091). Ἄννης τῆς μητρὸς Σαμουὴλ τοῦ προφήτου (1160 π.Χ.).

* * * * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ' ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος Δι




Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.




Τὰ ἀπολυτίκια.

Ἀπολυτίκιον τῆς ἑορτῆς.

Ἦχος Δι



ται τε Ι ω α κειμ γαρ και της Αν νης ει σα κε

ων Θε ος παρ ελ πι δα τε κειν αυ τες σα φως υ πισ

χνει ται Θε ο παι δα εξ ης αυ τος ε τε χθη ο α πε

ρι ι γρα πτος βρο τος γε γο νως δι Α γγε λε

κε λευ σας βο η σαι αυ τη Χαι ρε Κε χα ρι τω με

ε ε νη ο Κυ ρι ος με τα σε

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Τῶν Ἐγκαινίων.

Ἦχος Δι

Ω ς τε α νω στε ρε ω μα τος την ευ πρε ε πει

αν και την κα τω συν α πε δει ξας ω ραι ο τη τα

τε α γι ε Σκη νω μα τος της δο ξης σε Κυ υ ρι

ε κρα ται ω σον αυ το εις αι ω να αι ω ω ω

νος και προς δε ξαι η μων τας εν αυ τω α παυ

στως προ σα γο με νας σοι δε η η η σεις δι

α της Θε ο το κε η παν των ζω η και α

να στα σι ι ις

Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

## ΚΑΘΙΣΜΑΤΑ

### Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

### Ἦχος α΄. Χορὸς ἀγγελικός.

Ὁ νέος Οὐρανός, ἐν κοιλίᾳ τῆς Ἄννης, τεκταίνεται Θεοῦ, παντουργοῦ ἐπινεύσει· ἐξ οὗ καὶ ἐπέλαμψεν, ὁ ἀνέσπερος Ἥλιος, κόσμον ἅπαντα, φωταγωγῶν ταῖς ἀκτῖσι, τῆς Θεότητος, ὑπερβολῇ εὐσπλαγχνίας, ὁ μόνος φιλάνθρωπος.

Δόξα. Καὶ νῦν. Ὅμοιον.

Χορὸς προφητικός, προεκήρυξε πάλαι, τὴν ἄμωμον ἁγνήν, καὶ θεόπαιδα Κόρην, ἣν Ἄννα συνέλαβε, στεῖρα οὖσα καὶ ἄγονος· ταύτην σήμερον, ἀγαλλιάσει καρδίας, μακαρίσωμεν, οἱ δι᾽ αὐτῆς σεσωσμένοι, ὡς μόνην πανάμωμον.

### Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

### Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἀδὰμ ἀνακαινίσθητι, καὶ Εὔα σκίρτησον· ξηρὰ γὰρ καὶ ἄνικμος, γῆ ἀνεβλάστησε, καρπὸν εὐθαλέστατον, τὴν ἀνθήσασαν κόσμῳ, στάχυν ἀθανασίας, καὶ τὸ ὄνειδος ἅπαν, ἤρθη τῆς ἀτεκνίας. Μεθ᾽ ὧν συνευφρανθῶμεν, χαίροντες σήμερον.

Δόξα. Καὶ νῦν.

### Τὸ ἐπιγραφόμενον ἐν τῷ Μηναίῳ «μετὰ τὸν Πολυέλεον» Κάθισμα.

### Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἀναβόησον Δαυΐδ, τί ὤμοσέ σοι ὁ Θεός; Ἅ μοι ὤμοσε φησί, καὶ ἐκπεπλήρωκεν ἰδού, ἐκ τοῦ καρποῦ τῆς κοιλίας μου δοὺς τὴν Παρθένον· ἐξ ἧς ὁ πλαστουργός, Χριστὸς ὁ νέος Ἀδάμ, ἐτέχθη Βασιλεύς, ἐπὶ τοῦ θρόνου μου· καὶ βασιλεύει σήμερον, ὁ ἔχων τὴν βασιλείαν ἀσάλευτον. Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

* * *

### Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης τὸν ν΄ ψαλμόν, χῦμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

### Οἱ Κανόνες· τῶν Ἐγκαινίων, καὶ τῆς ἁγίας Ἄννης δύο.

### Ὁ Κανὼν τῶν Ἐγκαινίων. Ἰωάννου Μοναχοῦ.

### Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ εἱρμός.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Ὁ στύλῳ, καθοδηγῶν τὸ πρότερον, τὸν σὸν λαὸν Ἰσραήλ, διὰ λουτροῦ βαπτίσματος Χριστέ, ἐν Σιὼν κατεφύτευσας, τὴν

Ἐκκλησίαν κράζουσαν· Ἄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.
Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Σήμερον, τῆς ἀπροσίτου δόξης σου, ἡ ἐπιφοίτησις, τὸν ἐπὶ γῆς παγέντα σοι Ναόν, οὐρανὸν κατεσκεύασεν, ἐν ᾧ συμφώνως ψάλλομεν· Ἄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.
Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Οὐ Νόμῳ, ἡ Ἐκκλησία Κύριε, ἐγκαλλωπίζεται, οὐ δουλικῶν ἐκτάσεσι χειρῶν· τοῦ Σταυροῦ δὲ τῇ χάριτι, ἐγκαυχωμένη ψάλλει σοι· Ἄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ἀσπόρως, τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱόν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Κανὼν τῆς ἁγίας Ἄννης. Ἀνδρέου Κρήτης.
ᾨδὴ α΄. Ἦχος α΄. ᾨδὴν ἐπινίκιον.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Τὴν σύλληψιν σήμερον, θεόφρον Ἄννα, τὴν σὴν ἑορτάζομεν· ὅτι τὴν χωρήσασαν, τὸν μηδαμοῦ χωρητόν, συνέλαβες στειρωτικῶν, ἀπολυθεῖσα δεσμῶν.
Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Δικαίων ἐπήκουσας, τὰς ἱκεσίας, Ἁγίων ἐπλήρωσας, τὰς ἐντεύξεις Κύριε, τῶν Προπατόρων σου, καὶ τούτοις δέδωκας καρπόν, τὴν σὲ τεκοῦσαν Ἁγνήν.
Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ἡ Ἄννα ἡ ἔνδοξος, νῦν συλλαμβάνει, Ἁγνὴν τὴν τὸν ἄσαρκον, συλλαβοῦσαν Κύριον, τὸν ὑπεράγαθον, καὶ τίκτειν μέλλει τὴν σαρκί, μέλλουσαν τίκτειν Χριστόν.
Θεοτοκίον.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Τὸ Ὄρος τὸ ἅγιον, ὅπερ προεῖδε, Προφήτης ἐν Πνεύματι, ἐξ οὗ λίθος τέτμηται, τοὺς τῶν εἰδώλων βωμούς, συντρίψας σθένει θεϊκῷ, σὺ εἶ Παρθένε ἁγνή.

Ἕτερος Κανὼν τῆς ἁγίας Ἄννης,
οὗ ἡ Ἀκροστιχίς, ἄνευ τῶν Θεοτοκίων·
*Ἡ τὴν χαρὰν τέξουσα, τίκτεται Κόρη.*
ᾨδὴ α΄. Ἦχος β΄.
Ἐν βυθῷ κατέστρωσέ ποτε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ἡ τοῦ κόσμου σήμερον χαρά, λόγῳ προκηρύττεται, καὶ μητρικὰς ὀδύνας εἰς εὐφρόσυνον, χαρμονὴν μεθίστησι, καὶ πολύτεκνον, τὴν τῆς φύσεως στείρωσιν, ἔσεσθαι μηνύει, ἔργοις τοῖς τῆς χάριτος

πληθύνουσαν.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Τὸ τερπνὸν παλάτιον Χριστοῦ, ὁ εὐρυχωρότατος, τῶν οὐρανῶν οὐρανὸς ὁ ὑπέρτερος, σήμερον εἰσδέχεται, δι᾽ ἐντεύξεως, τὴν βάσιν τῆς ὑπάρξεως, τῆς ἐπαγγελίας ἐχούσης, ἀσάλευτον τὴν ἔκβασιν.

Δόξα.

Ἡ πορφύρα σήμερον Χριστοῦ, λαμπρῶς καταγγέλλεται, ἐκ στειρευούσης ὑφανθήσεσθαι χάριτι, νηδύος ἡ ἄσπιλος, ἐξ ἧς φορέσας, ὁ Βασιλεὺς τῆς κτίσεως, φύσιν τὴν βροτείαν, κόσμῳ ὡραιότητος ὀφθήσεται.

Καὶ νῦν. Θεοτοκίον.

Νῦν βροτῶν ἡ φύσις ἐπὶ σοί, μόνη πανυπέρτατε, Θεοπρεπῶς ἐγκαυχωμένη Δέσποινα, χαίρει καὶ κηρύττει σου, τὰ παράδοξα τῆς ἁγνείας τεράστια, καὶ ἐν εὐφροσύνῃ ᾄδουσα, δοξάζει σε Θεόνυμφε.

Τῶν Ἐγκαινίων. Ὠδὴ γ΄.

Ἦχος δ΄. Ὁ εἱρμός.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Τροπάρια.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Ἡγίασας ἐπὶ γῆς, τὴν Ἐκκλησίαν σου Χριστὲ Πνεύματι, χρίσας αὐτὴν σήμερον, τῆς ἀγαλλιάσεως ἔλαιον.
Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Ἀνέδειξας Ἀγαθέ, τὴν χειροποίητον σκηνὴν σήμερον, τῆς ὑπὲρ νοῦν δόξης σου, οἰκονομικῶς οἰκητήριον.
Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.
Θεμέλιόν σε Χριστέ, ἡ Ἐκκλησία ἀῤῥαγὲς ἔχουσα, τῷ σῷ Σταυρῷ στέφεται, ὡς βασιλικῷ διαδήματι.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας· ὅθεν σοι τὸ χαῖρε κραυγάζομεν.

Τῆς Ἁγίας. Ὠδὴ γ΄.

Ἦχος α΄. Στερεωθήτω ἡ καρδία μου.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Καρπὸν κοιλίας εἰ παράσχοις μοι, ἀνεβόα Ἄννα πρὸς Κύριον, μεγαλυνθήσομαι καὶ σοί, τοῦτον προσαναθήσομαι· διὰ τοῦτο συλλαμβάνει, τὴν ἁγνὴν Θεομήτορα.
Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ἐν παραδείσῳ εὐχομένης σου, τῆς φωνῆς ἀκούει ὁ Ὕψιστος,

Ἄννα θεόφρον καὶ καρπόν, τῇ κοιλίᾳ σου δίδωσι, Παραδείσου τὴν ἀνοίξασαν, τὴν θύραν τῆς χάριτος.
Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Τὰ κατὰ νόμον ἐκτελέσασα, καὶ Θεῷ ἀμέμπτως δουλεύσασα, κυοφορεῖς τὴν ἀληθῆ, νομοδότην κυήσασαν, Ἄννα πάνσεμνε· διό σε, οἱ πιστοὶ μακαρίζομεν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Τῆς στειρευούσης διανοίας μου, ἀκαρπίαν πᾶσαν ἀπέλασον, καὶ καρποφόρον ἀρεταῖς, τὴν ψυχήν μου ἀνάδειξον, Παναγία Θεοτόκε, τῶν πιστῶν ἡ βοήθεια.

Ἕτερος τῆς Ἁγίας. Ὠδὴ γ΄.
Ἦχος β΄. Ἐξήνθησεν ἡ ἔρημος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ῥανάτωσαν εὐφρόσυνον, αἱ νεφέλαι σήμερον, τὸν γλυκασμὸν τοῖς πέρασιν· ἡ Νεφέλη ἰδοὺ γὰρ τίκτεται, ἐξ ἧς τὸ τῆς ζωῆς μου ὕδωρ βλύσει Χριστός.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ἀνοίγονται τῆς χάριτος, τὰ ταμεῖα σήμερον, ὁ προκηρύσσων Ἄγγελος, ἀνεβόα Ἄννης τὴν σύλληψιν· ἰδοὺ γὰρ σὺ τὴν Πόλιν ἀποτίκτεις Θεοῦ.

Δόξα.

Νενέκρωται ἡ φύσις μέν, τῶν ἀνθρώπων πρότερον· νῦν δὲ ζωῆς τὰ σύμβολα, τῇ συλλήψει τῆς Ἄννης δέχεται· ἐξ ἀκάρπου γὰρ ῥίζης ἄρτι φύεται.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς ἄνθρακα φλογίζοντα, ἁμαρτίας Ἄχραντε, τὸν σαρκωθέντα Κύριον, ὑπὲρ φύσιν ἐκ σοῦ δεχόμενοι, τοῦ πλήθους τῶν πταισμάτων καθαιρόμεθα.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

### Κοντάκιον τῶν Ἐγκαινίων.

### Ἦχος β΄. Τοὺς ἀσφαλεῖς.

Ἐγκαινισμόν, ἐν ταῖς καρδίαις Πνεύματος, καὶ φωτισμόν, ἐν τοῖς ἐγκάτοις καίνισον, τοῖς ἐν πίστει ἐκτελοῦσι τὰ Ἐγκαίνια, τοῦ οἴκου καὶ Ναοῦ σου οὗ ηὐδόκησας, κτισθῆναι ἐν τῷ σῷ θείῳ ὀνόματι, ὁ μόνος ἐν Ἁγίοις δοξαζόμενος.

### Ὁ Οἶκος.

Μνήμην τελῶν τῶν Ἐγκαινίων ὁ σοφώτατος πάλαι Σολομών, τῷ Θεῷ ἀλόγων ζῴων προσέφερεν ὁλοκαυτώματα καὶ θυσίας· ὅτε δὲ

νῦν ἡ ἀλήθεια καὶ ἡ χάρις ἦλθεν ἐν γῇ, τὰς θυσίας εὐθὺς μετεποίησε· θύσας γὰρ θυσίαν εἰς σωτηρίαν τὴν ἡμῶν ἑαυτὸν ὡς φιλάνθρωπος, τὴν Ἐκκλησίαν ἡγίασε, καὶ ἀσάλευτον ταύτην ἀνέδειξεν, ὁ μόνος ἐν Ἁγίοις δοξαζόμενος.

Κάθισμα τῆς ἁγίας Ἄννης.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Εὐλογίας ἀπαρχήν, τῆς ἀκαρπίας τῷ βλαστῷ, ἐδωρήσω Ἀγαθέ, Ἄννῃ βοώσῃ δι᾽ εὐχῆς· Σὺ μεταπλάττεις τὰς φύσεις τῶν ἐν γενέσει· διό μου ὦ Σωτήρ, νενεκρωμένην αὐτήν, τὴν φύσιν ὡς Θεός, πάλιν καινούργησον· ἵνα καρπὸν προσάξω σοι βοῶσα, τῷ παντεπόπτῃ καὶ Κτίστῃ μου· Σοὶ δόξα πρέπει, Θεὲ τῶν ὅλων, καὶ μόνε φιλάνθρωπε.

Δόξα. Τῶν Ἐγκαινίων.

Ἦχος ὁ αὐτός. Ταχὺ προκατάλαβε.

Ἐν πίστει τὰ Ἐγκαίνια, ἐπιτελοῦσι πιστοῖς, τοῦ Οἴκου σου Κύριε, πέμψον ἡμῖν φωτισμόν, καὶ χάριν καὶ ἔλεος· φύλαττε δὲ καὶ τοῦτον, εἰς αἰῶνα αἰῶνος, νίκας ἐπιβραβεύων, τοῖς πιστοῖς βασιλεῦσι, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Καὶ νῦν. Τῆς Ἁγίας.

Ἦχος ὁ αὐτός. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἰωακεὶμ ὁ ἱερὸς καὶ ἡ Ἄννα, δῶρα προσήγαγον τοῖς πρὶν ἱερεῦσι, καὶ μὴ δεχθέντες ἄγονοι τυγχάνοντες, δέησιν προσηύξαντο, τῷ Δοτῆρι τῶν ὅλων· καὶ τῆς προσευχῆς αὐτῶν, ἐπακούσας δωρεῖται, τούτοις τὴν ὄντως πύλην τῆς ζωῆς· ἧς τὴν ἁγίαν τιμήσωμεν σύλληψιν.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον τῆς Ἁγίας.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον ἡ οἰκουμένη, τὴν τῆς Ἄννης σύλληψιν, γεγενημένην ἐν Θεῷ· καὶ γὰρ αὐτὴ ἀπεκύησε, * τὴν ὑπὲρ λόγον, τὸν Λόγον κυήσασαν.

Ὁ Οἶκος.

Σὺ ὁ τῇ Σάῤῥᾳ δούς ποτε, ἐν γήρᾳ βαθυτάτῳ, τῇ σῇ ἐπιστασίᾳ, καὶ ἐν ἐπαγγελίᾳ υἱὸν τὸν μέγαν Ἰσαάκ· σὺ ὁ διανοίξας τὴν στειρεύουσαν νηδὺν τῆς Ἄννης, παντοδύναμε, μητρὸς Σαμουὴλ τοῦ Προφήτου σου· καὶ νῦν ἐπιδὼν ἐπ᾽ ἐμέ, δέξαι μου τὰς δεήσεις, καὶ πλήρωσόν μου τὰς αἰτήσεις, ἐβόα ἐν κλαυθμῷ, ἡ σώφρων Ἄννα καὶ στεῖρα, καὶ ἐπήκουσεν αὐτῆς ὁ Εὐεργέτης. Ὅθεν ἐν χαρᾷ συνέλαβε τὴν Παρθένον, * τὴν ὑπὲρ λόγον, τὸν

Λόγον κυήσασαν.

## Συναξάριον.

Τῇ Θ´ τοῦ αὐτοῦ μηνός, ἡ σύλληψις τῆς ἁγίας Ἄννης, μητρὸς τῆς ὑπεραγίας Θεοτόκου.

Στίχ. Οὐχ ὥσπερ Εὔα, καὶ σὺ τίκτεις ἐν λύπαις·
Χαρὰν γὰρ Ἄννα ἔνδον κοιλίας φέρεις.
Τῇ δ' ἐνάτῃ Μαρίην Θεομήτορα σύλλαβεν Ἄννα.

Ὁ Κύριος ἡμῶν καὶ Θεός, θέλων ἑτοιμάσαι ἑαυτῷ ναὸν ἔμψυχον καὶ οἶκον ἅγιον εἰς κατοικίαν ἑαυτῷ, τὸν Ἄγγελον αὐτοῦ ἀποστείλας πρὸς τοὺς δικαίους Ἰωακεὶμ καὶ Ἄνναν (ἐξ ὧν ἠθέλησε προελθεῖν τὴν κατὰ σάρκα Μητέρα αὐτοῦ), προεμήνυσε τὴν σύλληψιν τῆς ἀγόνου καὶ στείρας, ἵνα βεβαιώσῃ τῆς Παρθένου τὴν γέννησιν. Ὅθεν συνελήφθη ἡ ἁγία Παρθένος Μαρία, καὶ ἐγεννήθη, οὐχ ὥς τινες λέγουσι, μηνῶν ἑπτά, ἢ χωρὶς ἀνδρός, ἀλλ' ἐννέα τελείων μηνῶν ἐγεννήθη· καὶ ἐξ ἐπαγγελίας μέν, ἐξ ἀνδρὸς δὲ συναφείας καὶ σπορᾶς. Ἐγεννήθη δὲ ἐκ τῆς ἁγίας Παρθένου Μαρίας ἀποῤῥήτως καὶ ἀνερμηνεύτως, ὡς οἶδε μόνος ἐκεῖνος, χωρὶς τῶν τῆς σαρκὸς θελημάτων· καὶ τέλειος ὑπάρχων Θεός, πάντα καὶ τῆς κατὰ σάρκα αὐτοῦ οἰκονομίας τέλεια προσελάβετο, καθὼς καὶ τὴν τῶν ἀνθρώπων φύσιν ἐδημιούργησε καὶ ἔπλασε τὸ καταρχάς.

Ταύτην γοῦν τὴν ἡμέραν πανηγυρίζομεν, ὡς ἀνάμνησιν ἔχουσαν τῶν ὑπ' Ἀγγέλου δοθέντων χρησμῶν, τοῦ τὴν ἁγίαν Σύλληψιν εὐαγγελισαμένου τῆς ἁγνῆς Θεομήτορος. Οὓς (χρησμοὺς) ἔργα ποιῶν, ὁ ἐκ τοῦ μηδενὸς ὑποστήσας τὰ σύμπαντα Θεός, διήγειρε τὴν στειρεύουσαν νηδὺν εἰς καρπογονίαν· καὶ τὴν ἐν ἀπαιδίᾳ τὸν βίον καταγηράσασαν, παιδοτόκον μητέρα παραδόξως ἐργάζεται, ἄξιον πέρας τῆς δικαίας αἰτήσεως τῶν Δικαίων τοῦτο παρασχών· καὶ ἧς αὐτὸς ἔμελλε σαρκοφόρος Θεὸς προελθεῖν, εἰς ἀναγέννησιν τοῦ παντός, θυγατέρα τεκεῖν τοὺς σώφρονας εὐδοκήσας, τὴν πρὸ αἰώνων ἐκ πασῶν τῶν γενεῶν προωρισμένην τε καὶ ἐκλεγμένην. Τελεῖται δὲ αὕτη ἡ Σύναξις ἐν τῷ σεβασμίῳ Οἴκῳ τῆς Θεοτόκου, τῷ ὄντι ἐν τοῖς Εὐοράνοις, πλησίον τῆς ἁγιωτάτης Ἐκκλησίας.

Διασῴζεται δὲ τὸ δεξιὸν αὐτῆς πέλμα ἄφθορον καὶ εὐωδιάζον καὶ θαυματουργοῦν ἐν τῇ ἱερᾷ σκήτῃ τῆς Ἁγίας Ἄννης ἐν Ἄθω, τὸ δὲ ἕτερον πέλμα μετὰ τῆς κνήμης, ἐπίσης ἄφθορα, ἐν τῇ ἱερᾷ μονῇ Κουτλουμουσίου. Ἡ δὲ μνήμη τῆς Κοιμήσεως αὐτῆς ἄγεται τὴν ΚΕ´ Ἰουλίου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας προφήτιδος Ἄννης, τῆς μητρὸς Σαμουὴλ τοῦ προφήτου. (ια´ αἰ. π.Χ.)

Στίχ. Τί σοι ἐπαινέσειεν Ἄννα τις πλέον;
Τὸ καρτερόφρον, ἢ τὸ τῆς εὐτεκνίας;

Τῇ αὐτῇ ἡμέρᾳ, τὰ ἐγκαίνια τῆς μεγάλης τοῦ Χριστοῦ ἐκκλησίας (Ἁγίας τοῦ Θεοῦ Σοφίας) ἐν Κωνσταντινουπόλει. (537)

Στίχ. Ἐγκαινίοις καλοῖς σε τοῖς ἐγκωμίοις,
Τιμῶ καλῶν, κάλλιστε, γῆς ναῶν ὅλων.

Ψάλλεται ἡ ἀκολουθία σήμερον, καθ' ὅτι ἐμποδιζόμεθα πρὸς τοῦτο κατὰ τὴν ἀκριβῆ τούτων ἡμέραν ἐν κγ´ Δεκεμβρίου, ὅτε ἐπικρατοῦσι τὰ προεόρτια τῆς Χριστοῦ γεννήσεως.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Σωσιθέου, Ναρσοῦ καὶ Ἰσαάκ, τῶν ἐν Περσίδι διὰ ξίφους τελειωθέντων. (†553)

Στίχ. Σωσίθεον σωθεῖσιν ἐγγράφει Λόγος,
Ὑπὲρ Θεοῦ σῴζοντος ἐκτετμημένον.

Πέρσης κάραν σοι, Χριστέ, Ναρσῆς προσφέρει,
Κρεῖττόν γε δῶρον σμυρνοχρυσολιβάνου.

Πάθους τὸ λεῖπον Ἰσαὰκ Σάῤῥας τέκνου,
Σφαγεὶς ἀνεπλήρωσεν Ἰσαὰκ νέος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Στεφάνου τοῦ νεολαμποῦς, τοῦ ἐν τῷ ἁγίῳ Ἀντίπᾳ κειμένου. (†912)

Στίχ. Ἐξήγαγες γῆς τὸν Στέφανον καὶ βίου,
Στέφει δὲ δόξης ἐστεφάνωσας, Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Ἐασίου (Easios), ἐπὶ Διοκλητιανοῦ βασανισθέντος καὶ τὴν κάραν τμηθέντος. (~†284-305)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Βάσσης τῆς πατρικίας, ἡγουμένης κοινοβίου ἐν Ἱερουσαλήμ, κτιτορίσσης μονῆς τοῦ ἁγίου Μηνᾶ, ἔνθα ἡγουμένευσε ὁ ἐπίσκοπος Ἰαμνείας Στέφανος. (ε΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Σύρου (Syrus), α΄ ἐπισκόπου καὶ πολιούχου Παβίας ἐν Ἰταλίᾳ. (α΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας παρθενομάρτυρος Βαλερίας τῆς ἐν Αὐγουστορίτῳ (Augustoritum, Limoges) Ἀκουϊτανίας ἐν Γαλλίᾳ, προσηλυτισθείσης ὑπὸ τοῦ ἁγίου ἐπισκόπου Μαρτιάλη. (τέλη γ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἁγίας παρθενομάρτυρος Λεωκαδίας (Leocadia, Locaie), ἐν Τολέδῳ Ἱσπανίας. (~†303)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου Προκούλου (Proculus), ἐπισκόπου Βερόνης (Verona), ὁμολογητοῦ ἐπὶ Διοκλητιανοῦ. (~†320)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων μαρτύρων Πέτρου, Ἐπιτυχίου (Successus), Βασσιανοῦ, Πρωτογόνου (Primitivus) καὶ ἑτέρων εἴκοσι ἐν βορείῳ Ἀφρικῇ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Κυπριανοῦ, μοναχοῦ ἐν Πετροκορίοις (Petrocorii, Périgueux) τῆς Γαλλίας, ὁσιακῶς τελειωθέντος παρὰ τῷ Δορδώνῃ (Dordogne) ποταμῷ. (†586)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ῥεστιτούτου (Restitutus), ἐπισκόπου Καρθαγένης ἐν βορείῳ Ἀφρικῇ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Βάλδης (Balda), γ΄ ἡγουμένης τοῦ ἀββαείου Ζουάρρης (Jouarre) ἐν Γαλλίᾳ. (ζ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Βουδόκου (Budoc), τοῦ ἐκ Βρεττάνης, ἡγουμένου τοῦ ἀββαείου Γιούχαλ (Youghal) ἐν Ἰρλανδίᾳ, εἶτα ἐπισκόπου Δόλης (Dol) ἐν Βρεττάνῃ. (ζ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Ἐθελγίβης (Ethelgiva, Æthelgifu), θυγατρὸς τοῦ βασιλέως Ἀλφρέδου τοῦ μεγάλου, α΄

ἡγουμένης τοῦ ἀββαείου Σάφτσβουρυ (Shaftesbury) ἐν νοτίῳ Ἀγγλίᾳ. (†896)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Βολφεΐου (Wolfeius), ἐρημίτου ἐν μονῇ Βενεδικτίνων εἰς Νόρφολκ (Norfolk) τῆς ἀνατολικῆς Ἀγγλίας. (~†1000)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Ἐνγουεράμμου (Enguerrammus) τοῦ σοφοῦ, ἡγουμένου τῆς μονῆς Ἁγίου Ῥιχαρίου (Riquier, Richarius) ἐν Γαλλίᾳ. (†1045)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου ἱερομονάχου Ἀνθίμου τοῦ Βουλγάρεως, ἐν Ἄθῳ ἀσκήσαντος, διὰ Χριστὸν σαλοῦ. (†1867)

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

* * *

## ΚΑΤΑΒΑΣΙΑΙ

### Τῆς Χριστοῦ Γεννήσεως.

(Ψάλλονται ἀπὸ 21ης Νοεμβρίου
μέχρις 24ης Δεκεμβρίου μόναι αἱ πεζαί).

Ἦχος Πα

ᾠδὴ α´




ᾠδὴ γ´




ω βο η σω μεν ο α νυ ψω σας το κε ρας
η μων α γι ος ει Κυ υ ρι ι ε
ᾠδὴ δ΄
Ρ αβ δος εκ της ρι ζης Ι εσ σαι και αν θος εξ αυ
της Χρι ςε εκ της Παρ θε νȣ α νε ε βλα ςη σας
εξ ο ρȣς ο αι νε τος κα τα σκι ου δα σε ος
ηλ θες σαρ κω θεις εξ α πει ραν δρȣ ο α υ λος
και Θε ος δο ξα τη δυ να μει σȣ Κυ υ ρι ι ε
ᾠδὴ ε΄
Θ ε ος ων ει ρη νης Πα τηρ οι κτιρ μων της
με γα λης βȣ λη ης σȣ τον αγ γε λον ει ρη νην πα
ρε ε χο με νον α πε ςει λας η μιν ο θεν
θε ο γνω σι ας προς φως ο δη γη η θεν τες εκ
νυ κτος ορ θρι ζον τες δο ξο λο γȣ μεν σε φι λα αν
θρω ω πε
ᾠδὴ ς΄
Σ πλαγ χνων Ι ω ναν εμ βρυ ον α α πη με σεν




ᾠδὴ ζ΄




ᾠδὴ η΄

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.



Παρ θε νȣ ην υ πε ε δη νη δυν δι ο ο α νυμ

νȣν τες α α να μελψωμεν ευ λο γει τω η κτι σις

πα α σα τον Κυ ρι ον και υ περ υ ψȣ τω εις

παν τας τȣς αι ω να α α ας

* * *

Ὁ διάκονος: Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

## Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

1

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρι μου.

Την τι μι ω τε ραν των Χε ρȣ βιμ και εν δο

ξο τε ραν α συγ κρι ι τως των Σε ρα φειμ την α δι

α φθο ρως Θε ον Λο γον τε κȣ ȣ σαν την ον τως

Θε ο το κον σε με γα λυ υ νο ο μεν

2

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης Αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Την τι μι ω τε ραν των Χε ρȣ βιμ και εν δο

ξο τε ραν α συγ κρι ι τως των Σε ρα φειμ την α δι

α φθο ρως Θε ον Λο γον τε κȣ ȣ σαν την ον τως

Θε ο το κον σε με γα λυ υ νο ο μεν

3

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα Αὐτοῦ, καὶ τὸ ἔλεος Αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις Αὐτόν.




4

Ἐποίησε κράτος ἐν βραχίονι Αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.




5

Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.



6

Ἀντελάβετο Ἰσραὴλ παιδὸς Αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραάμ καὶ τῷ σπέρματι Αὐτοῦ ἕως αἰῶνος.




ᾠδὴ θ΄






# Ἡ καταβασία τῆς θ′ ᾠδῆς.






Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·
Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ
### Τῶν Ἐγκαινίων.

Ἐν πνεύματι τῷ ἱερῷ Ἦχος Γα




Τῆς Ἁγίας Ἄννης, ὅμοιον.



## Ἕτερον.

Ὁ οὐρανὸν τοῖς ἄστροις. Ἦχος Γα




* * *

## ΑΙΝΟΙ

Ἦχος Δι






Ἱστῶμεν Στίχους ϛʹ, καὶ ψάλλομεν
τὰ ἑξῆς Στιχηρὰ προσόμοια.

Ἦχος βʹ. Οἶκος τοῦ Ἐφραθᾶ.

Στίχ. αʹ. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ἀπόθεσθε Ἀδάμ, καὶ Εὔα πᾶσαν λύπην· ἡ μήτηρ τῆς χαρᾶς γάρ, ἐν στείρᾳ παραδόξως, καρπογονεῖται σήμερον.

Στίχ. βʹ. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Προπάτωρ Ἀβραάμ, καὶ πάντες Πατριάρχαι, εὐφραίνεσθε ὁρῶντες, τοῦ Θεοῦ τὴν Μητέρα, ἐκ ῥίζης ὑμῶν φύουσαν.

Στίχ. γʹ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Χαῖρε Ἰωακείμ, καὶ Ἄννα χαῖρε· ὅτι, χαρᾶς καὶ σωτηρίας, τὴν πρόξενον τῷ κόσμῳ, καρπογονεῖτε σήμερον.

Στίχ. δʹ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Χορὸς τῶν Προφητῶν, ἀγάλλεσθε· ἰδοὺ γάρ, Ἄννα καρπὸν ἐκφύει, δι᾿ οὗ αἱ προφητεῖαι, ὑμῶν περαιωθήσονται.

Στίχ. εʹ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Συγχάρητε φυλαί, πᾶσαι τῇ στείρᾳ Ἄννῃ· ὅτι καρπὸν κοιλίας, ἐκφύει παρ᾿ ἐλπίδα, ζωῆς ἡμῖν τὴν πρόξενον.

Στίχ. ϛʹ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Τὰ πέρατα τῆς γῆς, εὐφραίνεσθε· ἰδοὺ γάρ, τοῦ Κτίστου τῶν ἁπάντων, ἡ Μήτηρ ἐξ ἀκάρπου, γαστρὸς φύεται σήμερον.

Δόξα. Τῶν Ἐγκαινίων.

Ἦχος Πα



Ο ε πι τω ων κολ πων τω ω ων πα α τρι ι

κων ε πα να παα αυ ο ο ο με ε νος Λο ο ο ο

γε το Πνευ μα σου το α α α γι ι ι ι ον

εγ και νι σον εν τω ω Να α ω τω εις τω ο

νο ο μα α σου α νε γη γερ με ε ε νω

Καὶ νῦν. Τῆς Ἁγίας.

Ἦχος Δι

Και νυ υ υ υν και α α ει και εις τους αι ω νας

των αι ω ω ω νων α α μην

Ση με ρον εκ ρι ζη ης του Δα α βιδ βα σι λι

κη πορ φυ υ ρις ε εκ βλα στη η η η σα α α α

σα του Ι εσ σαι βλα στα νειν α α πα αρ

χε ε ε ται το α αν θος το ο μυ στι ι κον

εν ω Χρι στος ο Θε ος η μω ων ε ξη η η ην

θη η η η σεν ο σω ω ζων τα ας ψυ χα α

α ας η η η η μων

Καὶ εὐθὺς ψάλλεται εἰς τὸν αὐτὸν ἦχον

## Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δοξολογία Ἰωάννου Καββάδα, ἦχος Δι




εκ δε ξι ων του Πατρος και ε λε η σον η μας
Ο τι συ ει μο νος Α γι ος συ ει ει μο νος Κυ
ρι ος Ι η σȣς Χρι στος εις δο ο ξαν Θε ου Πα τρος
α μην
Κ αθ ε κα στην η με ραν ευ λο γη σω σε και αι
νε ε σω το ο νο μα α σȣ εις τον αι ω ω να
και εις τον αι ω να τȣ αι ω νος
Κ α τα ξι ω σον Κυ ρι ε εν τη η με ρα τα
αυ τη α να μαρ τη τȣς φυ λα χθη η ναι η μας
Ε υ λο γη τος ει Κυ ρι ε ο Θε ος των Πα
τε ρων η μων και αι νε τον και δε δο ξα σμε ε νον
το ο νο μα α σȣ εις τȣς αι ω ω νας α μην
Γ ε νοι το Κυ ρι ε το ε λε ος σȣ εφ η μας κα
θα περ ηλ πι σα μεν ε πι σε
Ε υ λο γη τος ει ει Κυ ρι ε δι δα ξο ον με τα
δι και ω μα τα α σȣ


Κ υ ρι ε κα τα φυ γη ε γε νη θης η μιν εν γε νε
α και γε νε α ε γω ει πα Κυ ρι ε ε λε η
σο ον με ι α σαι την ψυ χη ην μȣ ο τι η μαρ το ον
σοι
Κ υ ρι ε προς σε κα τε φυ γον δι δα ξον με τȣ
ποι ειν το θε λη μα α σȣ ο τι συ ει ο Θε ο ος
μȣ
Ο τι πα ρα σοι πη γη ζω ης εν τω φω τι
ι σȣ ο ψο ο με θα φως
Π α ρα τει νον το ε λε ο ος σȣ τοις γι νω σκȣ
σι ι σε Α γι ος ο Θε ος Α γι ος ι σχυ ρος
Α γι ος α θα να τος ε λε η σον η μας
Δ ο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ μα τι
Κ αι νυν και α ει και εις τος αι ω νας των αι
ω ω νων α μην
Α γι ος α θα να τος ε λε η σον η μας




Καὶ τὸ ἀπολυτίκιον τῆς ἑορτῆς.




* * * * *

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὁ διάκονος τὰ εἰρηνικὰ

Τὰ ἐξαπλᾶ.

Ἦχος Νη






Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

Ἦχος Νη




Ἀθανασίου Καραμάνη.

Ἦχος Νη






Εἰς τὰ Εἰρηνικά, Κύριε Ἐλέησον.
Ἰωάννου Β. Ἀρβανίτη.

Ἦχος Νη




(Ἐτονίσθησαν πρὸ πολλῶν ἐτῶν, ἐγράφησαν ἐνταῦθα κβ΄ Ἰουλ ͵βιθ΄ Ἰ. Ἀ.)

καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·
Ὅτι πρέπει σοι πᾶσα δόξα...

## Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ϟα΄ (91).

Ἦχος Δι

Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. (ϟα΄ 2)




Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τῷ πρωὶ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (ϟα΄ 3)




Στίχ. γ΄. Ὅτι εὔφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. (ϟα΄ 5)




Στίχ. δ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. (ϟα΄ 16)




Δόξα. Καὶ νῦν.




Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι σὸν τὸ κράτος...

## Ἀντίφωνον Β΄. Ἦχος πλ. α΄. Ψαλμὸς ϟβ΄ (92).

Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (ϟβ΄ 1)




Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (ϟβ΄ 1)




Στίχ. γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. (ϟβ΄ 4)




Στίχ. δ΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. (ϟβ΄ 5)




Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.




Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

Ἀντίφωνον Γ΄. Ἦχος δ΄. (Ἐκλογή).

Ἦχος Δι

Στίχ. α΄. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. (ρμθ΄ 1)

Στίχ. β΄. Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις. (λβ΄ 1)

Στίχ. γ΄. Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν, καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. (ξγ΄ 11)

## Τὸ ἀπολυτίκιον τῆς ἑορτῆς.

Ἦχος Δι




τὸ τέλος:




* * *

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

### Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι



ος

ὁ β΄ χορός: Ψαλλον τας σοι αλ λη λȣ ȣ ι α

* * *

## Τὸ ἀπολυτίκιον τῶν Ἐγκαινίων.

Ἦχος Δι

Ως τȣ α νω στε ρε ω μα τος την ευ πρε ε πει
αν και την κα τω συν α πε δει ξας ω ραι ο τη τα
τȣ α γι ȣ Σκη νω μα τος της δο ξης σȣ Κυ υ ρι
ε κρα ται ω σον αυ το εις αι ω να αι ω ω ω
νος και προς δε ξαι η μων τας εν αυ τω α παυ
στως προ σα γο με νας σοι δε η η η σεις δι
α της Θε ο το κȣ η παν των ζω η και α να στα
σις

## Τὸ ἀπολυτίκιον τῆς ἑορτῆς.

Ἦχος Δι

Ση με ρον της α τε κνι ας δε σμα δι α λυ ον
ται τȣ Ι ω α κειμ γαρ και της Αν νης ει σα κȣ
ων Θε ος παρ ελ πι δα τε κειν αυ τȣς σα φως υ πισ




Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Δόξα. Κοντάκιον τῶν Ἐγκαινίων.

Τοὺς ἀσφαλεῖς. Ἦχος Δι




Καὶ νῦν.

Κοντάκιον τῆς συλλήψεως τῆς Ἁγίας Ἄννης.

(τῇ θ΄ Δεκεμβρίου).

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)

Ἐπεφάνης σήμερον. Ἦχος Βου



ε ε νη την της Αν νης συλ λη ψιν γε γε νη με

νην εκ Θε ȣ και γαρ αυ τη α πε κυ η σε την υ

περ λο γον τον Λο ο γον κυ η σα σα α α αν

* * *

## ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Ἦχος Δι

Α α γι ι ο ο ος ο ο ο Θε ο ο ο ος

α α γι ι ο ο ος ι ι ι σχυ ρο ο ο ος α

α γι ι ος α θα α να τος ε λε ε ε η σο ο

ον η μα ας

Τό τρίτον.

Α γι ος ο Θε ο ο ο ο ο ο ο

ο ο ο ο ος α γι ος ι σχυ ρο ο ο ο ος

α α γι ι ος α θα α να τος ε λε ε ε η

σο ο ον η μα ας

Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ευ μα

τι

Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω




Τρισάγιον. Σύντομον.

Ἦχος Δι






Δύναμις τοῦ βήματος.

Ἦχος Δι






Δύναμις, τό συνειθισμένον. Ἦχος Δι









* * *

## ΑΠΟΣΤΟΛΟΣ

Τῆς Ἁγίας Ἄννης, ζήτει τῇ ΚΓ΄ Σεπτεμβρίου.

Προκείμενον τῆς περικοπῆς.

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος βαρύς.
Ὁ διάκονος· Πρόσχωμεν.

---

Ὁ ἀναγνώστης τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ καὶ ἐλπιεῖ ἐπ᾿ αὐτόν, καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.
Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ, ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.

---

Ἢ ὁ ψάλτης.

Ἦχος Γα



Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ

α πο φο βȣ εχ θρȣ ε ξε λȣ ȣ την ψυ χη ην μȣ

Ε υ φραν θη η σε ται δι και ος εν τω Κυ ρι ι ω

και ελ πι ει επ αυ τον και ε παι νε θη σον ται πα

αν τες οι ευ θει εις τη καρ δι ι α

Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων α πο

πλη θȣς ερ γα ζο με νων την α δι κι ι αν

Ε υ φραν θη η σε ται δι και ος εν τω Κυ ρι ι ω

και ελ πι ει επ αυ τον και ε παι νε θη σον ται πα

αν τες οι ευ θει εις τη καρ δι ι α α α α

Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(δ΄ 22-27)

Ὁ διάκονος· Πρόσχωμεν.

Ἀδελφοί, Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. Ἀλλ᾽ ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας διὰ τῆς ἐπαγγελίας. Ἅτινά ἐστιν ἀλληγορούμενα. Αὗται γάρ εἰσι δύο διαθῆκαι, μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ. Τὸ γὰρ Ἄγαρ Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλήμ, δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς· ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. Γέγραπται γάρ· «Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον

ἢ τῆς ἐχούσης τὸν ἄνδρα».

Ἀλληλούϊα (γ΄). Ἦχος δ΄. (Ψαλμὸς ϟα΄).

Ἦχος Δι






## ΕΥΑΓΓΕΛΙΟΝ

Τῆς Ἁγίας Ἄννης, ζήτει τῷ Σαββάτῳ
τῆς ϛ ἑβδομάδος τοῦ Λουκᾶ.

Ἐκ τοῦ κατὰ Λουκᾶν (η΄ 16-21).

Εἶπεν ὁ Κύριος· Οὐδεὶς λύχνον ἅψας καλύπτει αὐτὸν σκεύει ἢ ὑποκάτω κλίνης τίθησιν, ἀλλ' ἐπὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς. Οὐ γάρ ἐστι κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται, οὐδὲ ἀπόκρυφον ὃ οὐ γνωσθήσεται καὶ εἰς φανερὸν ἔλθῃ. Βλέπετε οὖν πῶς ἀκούετε· ὃς γὰρ ἐὰν ἔχῃ, δοθήσεται αὐτῷ, καὶ ὃς ἐὰν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ. Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον. Καὶ ἀπηγγέλη αὐτῷ λεγόντων· Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω ἰδεῖν σε θέλοντες. Ὁ δὲ ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς· Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες καὶ ποιοῦντες αὐτόν.

Ἦχος Δι




Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος Δι




Νη
ρȣ ȣ ȣ ȣ Χε ρȣ ȣ βι ι ι ιμ μυ υ υ υ υ
υ υ στι ι ι κω ω ω ω ω ω ω ω ω ω
Δι
ως ει κο ο νι ι ι ι ι ι ι ι ι ζο ο ο
ο ο ει κο ο νι ι ι ι ι ι ζο ο ον
τε ε ε ε ε ε ε ε ες και αι αι αι
τη η η η ζω ο ο ο ποι οι οι οι οι οι οι
Δ
ζω ο ο ποι οι ω ω Τρι ι α α α α ʔα α α
α α α α α α α α α α α α Τρι α α
Δ
α α δι ι το ον τρι ι σα α α α
γι ι ι ι ο ο ο ον υ υ υ μνο ο ο ο ον
Ζ
Μ Βȣ
προ σα α α δο ο ο υ μνον προ ο σα α α
Δι
δο ο ον τε ες πα α α α α α σα α α α
Ζ
αν την βι ι ω τι ι κη η η η η η η ην α
πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε
Δ
ρι ι ι μνα α α α α α α α α α αν
Ω ς τον βα σι ι λε ε ε ε ε ε ε




Τὰ Λειτουργικά,
ὡς διασώθηκαν ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησία,
κατὰ παράδοσιν ἀρχαιοτάτην. Καταγραφὴ Κ. Ψάχου.

Ἦχος Δι




Τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ

ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

* * *






Γρηγορίου Πρωτοψάλτου. Ἦχος Δι



ε ε κου ου ου ου ου σαν την ον τω ω ως

Θε ε ε ο το κον σε με γα λυ υ νο ο ο με

ε ε ε εν

## Τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων.
## Κοινωνικόν. Πέτρου Λαμπαδαρίου.

Ἦχος Πα

Α γαλ λι α α α α α α α α α α α

α α α α α α α α α α α α α α α α α α

α α α α α α α α α α α α α α α

α α α ͅα α α α α α α α α α α

α α α α α α α α α α α α α α α α

α α α α Α γα αλ λι α α α α α

α σθε ε ε ε δι ι ι ι ι ι ι ι ι ι ͅι

ι ι ι ι ι ι χι ι ι ι ι ι ι ι ι ι χι ι

ι χι ι ι ι χι ι δι ι και αι αι οι οι εν

Κυ ρι ι ι ι ι ι ι ι ι ι ι ι ι ι

ι ι ι ι ι ι χι ι ι ι ι χι ι ι ι ι


ι ι ι ι ι ι ι ι ι ι ι ι ι εν
Κυ ρι ι ι ι ω ω τοις ευ θε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε χε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε τοις ευ θε ε ε σι ι ι ι ι ι
ι ι πρε πει ει αι αι αι αι αι αι αι αι αι
αι αι αι αι αι αι αι αι αι αι αι αι αι αι αι αι αι
χαι αι αι αι αι αι αι αι αι αι αι αι αι αι αι αι αι
αι χαι πρε πει ει αι αι αι αι αι αι ϰαι αι
αι αι αι αι αι νε ε ε ε ε πρε πει ει ει αι
αι α αι νε ε σι ι ι ις Αλ λη λου ου
ου ου ι ι ι α α α α α α α α

Ἦχος Δι


Ει δο μεν το φω ως το α λη θι νον ε λα βο


μεν Πνευ μα ε που ρα νι ον ευ ρο μεν πι ςιν α λη
θη α δι αι ρε τον Τρι α δα προ σκυ νȣ ȣ ȣ ȣν
τες αυ τη γαρ η μας ε ε σω σε ε εν
Ἦχος Δι
Π λη ρω θη η τω το στο μα η μων αι νε σε
ως σȣ Κυ ρι ε ο πως α νυ μνη σω μεν την δο ο
ξαν σȣ ο τι η ξι ω σας η μας των α
γι ων σȣ με τασ χειν μυ στη ρι ι ι ι ων τη ρη σον
η μας εν τω σω α γι α σμω ω ο λην την η
με ε ραν με λε των τας την δι και ο συ υ νην σȣ
Α λλη λȣ ϊ α Α λλη λȣ ϊ α Α λλη
λȣ ϊ α α α
Ἦχος Δι
Ε ι η το ο νο μα Κυ ρι ȣ ευ λο γη με
νον α πο τȣ νυν και ε ως τȣ αι ω ω νος (δὶς)
Τ ο ο νο μα Κυ ρι ȣ ει η ευ λο γη


με ε ε ε ε νο ο ο ον α πο τȣ νυν και ε ως
τȣ αι ω ω νο ο ος